ελείφθην μόνος καὶ εἶδον τὴν ὅρασιν τὴν μεγάλην ταύτην, καὶ οὐκ 𝔊
ἐ⟨γ⟩κατελείφθη ἐν ἐμοὶ ἰσχύς, καὶ ἰδοὺ πνεῦμα ἐπεστράφη ἐπ᾿ ἐμὲ
9 εἰς φθοράν, καὶ οὐ κατίσχυσα. [9]καὶ οὐκ ἤκουσα τὴν φωνὴν λα-
λιᾶς αὐτοῦ, ἐγὼ ἤμην πεπτωκὼς ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν.
10 [10]καὶ ἰδοὺ χεῖρα προσήγαγέ μοι καὶ ἤγειρέ με ἐπὶ τῶν γονάτων
11 ἐπὶ τὰ ἴχνη τῶν ποδῶν μου. [11]καὶ εἶπέν μοι Δανιηλ, ἄνθρωπος
ἐλεεινὸς εἶ· διανοήθητι τοῖς προστάγμασιν, οἷς ἐγὼ λαλῶ ἐπὶ σέ,
καὶ στῆθι ἐπὶ τοῦ τόπου σου, ἄρτι γὰρ ἀπεστάλην ἐπὶ σέ. καὶ ἐν
τῷ λαλῆσαι αὐτὸν μετ᾿ ἐμοῦ τὸ πρόσταγμα τοῦτο ἔστην τρέμων.
12 [12]καὶ εἶπεν πρός με Μὴ φοβοῦ, Δανιηλ· ὅτι ἀπὸ τῆς ἡμέρας τῆς
πρώτης, ἧς ἔδωκας τὸ πρόσωπόν σου διανοηθῆναι καὶ ταπεινωθῆ-
ναι ἐναντίον κυρίου τοῦ θεοῦ σου, εἰσηκούσθη τὸ ῥῆμά σου, καὶ
13 ἐγὼ εἰσῆλθον ⟨ἐν⟩ τῷ ῥήματί σου. [13]καὶ ὁ στρατηγὸς βασιλέως
Περσῶν ἀνθειστήκει ἐναντίον μου εἴκοσι καὶ μίαν ἡμέραν, καὶ ἰδοὺ
Μιχαηλ εἷς τῶν ἀρχόντων τῶν πρώτων ἐπῆλθε βοηθῆσαί μοι, καὶ
αὐτὸν ἐκεῖ κατέλιπον μετὰ τοῦ στρατηγοῦ τοῦ βασιλέως Περσῶν.
14 [14]καὶ εἶπέν μοι Ἦλθον ὑποδεῖξαί σοι τί ὑπαντήσεται τῷ λαῷ σου ἐπ᾿

---

ελείφθην μόνος καὶ εἶδον τὴν ὀπτασίαν τὴν μεγάλην ταύτην, καὶ θ′
οὐχ ὑπελείφθη ἐν ἐμοὶ ἰσχύς, καὶ ἡ δόξα μου μετεστράφη εἰς δια-
9 φθοράν, καὶ οὐκ ἐκράτησα ἰσχύος. [9]καὶ ἤκουσα τὴν φωνὴν τῶν
λόγων αὐτοῦ καὶ ἐν τῷ ἀκοῦσαί με αὐτοῦ ἤμην κατανενυγμένος,
10 καὶ τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν. [10]καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου
11 καὶ ἤγειρέν με ἐπὶ τὰ γόνατά μου. [11]καὶ εἶπεν πρός με Δανιηλ
ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις, οἷς ἐγὼ λαλῶ πρὸς σέ, καὶ
στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην πρὸς σέ. καὶ ἐν τῷ
12 λαλῆσαι αὐτὸν πρός με τὸν λόγον τοῦτον ἀνέστην ἔντρομος. [12]καὶ
εἶπεν πρός με Μὴ φοβοῦ, Δανιηλ· ὅτι ἀπὸ τῆς πρώτης ἡμέρας,
ἧς ἔδωκας τὴν καρδίαν σου τοῦ συνιέναι καὶ κακωθῆναι ἐναντίον
τοῦ θεοῦ σου, ἠκούσθησαν οἱ λόγοι σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς
13 λόγοις σου. [13]καὶ ὁ ἄρχων βασιλείας Περσῶν εἱστήκει ἐξ ἐναντίας
μου εἴκοσι καὶ μίαν ἡμέραν, καὶ ἰδοὺ Μιχαηλ εἷς τῶν ἀρχόντων
τῶν πρώτων ἦλθεν βοηθῆσαί μοι, καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ
14 τοῦ ἄρχοντος βασιλείας Περσῶν [14]καὶ ἦλθον συνετίσαι σε ὅσα
ἀπαντήσεται τῷ λαῷ σου ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν, ὅτι ἔτι ἡ ὅρα-

**8** δοξα] εξεις A† = εξις unus codex codici A cognatus: cf. 9 1 || **9** αυτου 2⁰] pr. φωνην ρηματων A || **10** fin.] + και ταρσους χειρων μου A: sic teste $Q^{mg}$ uerterunt α′ σ′ || **12** οτι — ημερας > A† | συνιεναι] συνειναι BA†: cf. Thack. p. 251 | κακωθ.] pr. του A† | του θεου B†] pr. κυριου rel. || **13** εικοσι] pr. και (sic) A† | των πρωτων > B† || **14** ετι η > A(†)